# TEZAUR LITURGIC

## 6 IULIE

HARALAMBOS BOUSIA

# SLUJBA
# SF.CUVIOS
# SISOE CEL MARE

ATENA,2010


ΑΠΟСΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗС ΕΚΚΛΗСΙΑС ΤΗС ΕΛΛΑΔΟС

# ΤΗ ΣΤ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΙΣΩΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρος. Χαραλάμπους Μ. Μπούσια**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις το Κύριε εκέκραξα, ιστωμεν Στιχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β΄. Ότε εκ του ξύλου.

Όσιε Σισώη εν ωδαίς, στέφομεν την σην πολιτείαν, και παλαισμάτων πληθύν, ύμνοις δε γεραίρομεν, σε ως διδάσκαλον, ησυχίας και έτοιμον, αζύγων αλείπτην, τέμενος της χάριτος, ερήμου καύχημα, Θηβαΐδος τε και Νιτρίας, βάθος ταπεινώσεως θείον, και ακτημοσύνης ύψος άρρητον.

Όσιε Σισώη μιμητά, του Χριστού και γνήσιε φίλε, οι φιλεόρτων χοροί, τα σα κατορθώματα, προφρόνως άδομεν, συ γαρ πάντα τα γήϊνα, παρέδραμες λόγω, και Χριστώ προσέδραμες, εκ βρέφους όλβιε, ώσπερ έλαφός τις διψώσα· όθεν ώφθης κλείθρον σοφίας, και λαμπρόν συνέσεως θησαύρισμα.

Όσιε Σισώη γεραρέ, όντως απεκλήθης συ μέγας, ουχ ως ο πάλαι κλεινός, βασιλεύς Αλέξανδρος, ηρώων μέγιστος, δια την αμετάθετον, μαχών αριστείαν· συ γαρ κατετρόπωσας, τον παναλάστορα, και την

διαβαίνουσαν δόξαν, ην του τάφου πλαξ ου καλύπτει, της εν τω Χριστώ ζωής επόθησας.

Όσιε Σισώη μέγιστε, άνακτος τα του Αλεξάνδρου, ορών οστέα γυμνά, άμορφα και άδοξα, είδος ουκ έχοντα, και της δόξης το πρόσκαιρος, νοήσας εβόας· Που εστίν ο αργυρός, χρυσός ευπρέπεια; Θάνατος εγγίζει και ταύτα, ως σκια παρέρχονται τάχος, λάμψις αστραπή τε και ενύπνιον.

Δόξα. Ήχος β΄.

Της Αιγύπτου ο γόνος και πολιστής ερήμου ο ένθεος, ο του Αντωνίου ομότροπος και σέμνωμα των αζύγων, Σισώης ο τρισμακάριστος, συγκαλεί ημάς σήμερον εις κοινήν πνευματικήν πανδαισίαν. Δεύτε ουν πάντες συνευφρανθώμεν, του πλήθους των υπερφυών αυτού κατορθωμάτων κατατρυφώντες, και ανευφημήσωμεν αυτόν ως πρεσβεύοντα εκτενώς τω Κυρίω, υπέρ των τελούντων αυτού την πανήγυριν.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, ω Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην σου.

Απόστιχα.Ήχος β΄. Οίκος του Εφραθά.

Σύσσωμος ο χορός, των Ορθοδόξων ύμνους, προσφέρει τω Σισώη, τω νυχθημέροις πόνοις, την έρημον κλεΐσαντι.

Στιχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Σώσαι εκ συμφοράς, μελλούσης και θανάτου, αλήκτου την ψυχήν σου, πόθων εν τη Νιτρία, Σισώη κατεσκήνωσας.

Στιχ. Καυχήσονται όσιοι εν δόξη και αγαλλιάσονται...

Βλέπων γυμνά οστά, Μεγάλου Αλεξάνδρου, Σισώη ανεβόας· ω θάνατε μερόπων, φυγείν σε τις δυνήσεται;

Δόξα. Τριαδικόν,

Πάτερ συν τω Υιώ, και Πνεύματι Ἁγίῳ, Θεότης τρισολβία, αγίασον τους πίστει, γεραίροντας το κράτος σου.

Και νυν. Θεοτοκίον.

Έδρα του Ποιητού, του Αχωρήτου Χώρα, Παλάτιον του Λόγου, εκ της γεέννης πάντας, τους δούλους σου εκλύτρωσαι.

Νυν απολύεις, το Τρισάγιον και το Απολυτίκιον.

Απολυτίκιον. Ήχος α΄.

Της ερήμου πολίτης και εν σώματι Άγγελος, και θαυματουργός ανεδείχθης, θεοφόρε Πατήρ ημών Σισώη· νηστεία αγρυπνία προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τους νοσούντας, και τας ψυχάς των πίστει προστρεχόντων σοι. Δόξα τω δεδωκότι σοι ισχύν· δόξα τω σε στεφανώσαντι· δόξα τω ενεργούντι δια σου πάσιν ιάματα.

Έτερον. Ήχος πλ. α΄.

Τον συνάναρχον Λόγον. Γερασίμου.

Εκ παιδός γεωργήσας ζωήν την κρείττονα, των κατ αὐτῆς ενεπλήσθης θεουργικών αγαθών, των Αγγέλων

μιμητά Σισώη Όσιε· όθεν ως ήλιος λαμπρός, απαυγάζεις τηλαυγώς, εν ώρα της σης εξόδου, δηλοποιών την σην δόξαν, και καταλάμπων τας ψυχάς ημών.

Έτερον. Ήχος πλ. α΄. Τον συνάναρχον Λόγον.

Χαραλάμπους.

Αμαρτίας ακάνθας κατεπυρπόλησας, τω πυρί εγκρατείας και χαμευνίας στερράς, και προς φως το νοητόν, μετήλθες όσιε. Όθεν Σισώη τοις χοροίς, των Αγγέλων συνοικείς, και χαίρων αεί πρεσβεύεις, τω Κυρίω υπέρ των πίστει, επιτελούντων την σην μνήμην λαμπρώς.

Απόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα· ιστώμεν Στίχους στ’ καὶ ψάλλομεν Στιχηρά Προσόμοια.Ήχος δ΄. Έδωκας σημείωσιν.

Φαιδρά εξανέτειλε, καθάπερ ήλιος Όσιε, η πανέορτος μνήμη σου, ακτίσιν αστράπτουσα, των σων εναρέτων, πράξεων παμμάκαρ, και καταυγάζουσα πιστών, τας διανοίας φέγγει θαυμάτων σου. Αυτήν ουν εορτάζοντες, περιχαρώς σε γεραίρομεν, και πιστώς μακαρίζομεν, Μοναζόντων το καύχημα.*

Άγγελος επίγειος, οίά περ άλλως εβίωσας, εγκρατεία το σώμά σου, μαράνας πανόλβιε, και ταις αγρυπνίαις, και μνήμην θανάτου, διηνεκώς

εμμελετών, τα θεία Πάτερ επαυξανόμενος, μεγίσταις αναβάσεσι, προς εφετών το ακρότατον· όθεν όντως κατήντησας, επ αὐτὴν την ακρώρειαν.*

Θαύμα υπέρ έννοιαν, εν τη κοιμήσει σου γέγονεν, οσιόφρον θεσπέσιε, ηνίκα ο θίασος, των αγίων Πάτερ, επέστη αθρόον· ως περ γαρ ήλιος σοφέ, το πρόσωπόν σου εξανατέταλκε, δηλούν την αστραπόμορφον, της σης ψυχής καθαρότητα, και πιστούμενον άπαντας, οίου τέλους τετύχηκας.*

Κόσμου κατεφρόνησας, και ηδονών των του σώματος, παιδιόθεν μακάριε, επ ὤμων αράμενος, τον σταυρόν Κυρίου, όλβιε Σισώη, και ηκολούθησας αυτώ, κατασυντρίβων κάραν του δράκοντος· διο σου την υπέρφωτον, μνήμην συμφώνως γεραίροντες, την σεπτήν πολιτείαν σου, ανυμνούμεν γηθόμενοι.

Δεύτε καταστέψωμεν, των φιλοσίων οι σύλλογοι, εγκωμίων τοις άνθεσι, Σισώην τον μέγιστον, των εν τη ερήμω, πόθω ασκουμένων, πατέρων και ησυχαστών, και μεγαλύνωμεν ανακράζοντες· ερήμου θεία όασι, η μοναστάς αναψύχουσα, τοις σοφοίς σου διδάγμασιν, ώφθης χάριτος έμπλεως.

Λείψανα τρισάμορφα, ορών του πάλαι εκλάμψαντος, Αλεξάνδρου του άνακτος, εν τάφω εκραύγαζες, ω Σισώη τρέμων· θάνατε ανθρώπων, εκ των ονύχων σου φυγείν, πένης η πλούσιος τις δυνήσεται; Αλλ’ ήλθεν η ανάστασις, Χριστός δωρούμενος άπασιν, εις Αυτόν τοις πιστεύουσι, την αιώνιον βίωσιν.

Δόξα. Ήχος πλ. δ΄.

Ως θεόσδοτον τάλαντον την αρετήν κτησάμενος, θεοφόρε Σισώη, ασκητών αγλάϊσμα, καλώς εσπούδασας εν τη ενδοτέρα ερήμω ταύτην επαυξήσαι· όθεν τροπωσάμενος τας του εχθρού προσβολάς και εις ύψος αναβάς άρρητον, καλώς ήκουσας της φωνής του Κυρίου σου του καλούντός σε εις την χαράν την ουράνιον.

Και νυν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Είσοδος. Φως ιλαρόν. Το Προκείμενον της ημέρας. Και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα. (Ι 1-12)

Υιός σοφός ευφραίνει πατέρα, υιός δε άφρων λύπη τη μητρί. Ουκ ωφελήσουσι θησαυροί ανόμους, δικαιοσύνη δε ρύσεται εκ θανάτου. Ου λιμοκτονήσει Κύριος ψυχήν δικαίαν, ζωήν δε ασεβών ανατρέψει. Πενία άνδρα ταπεινοί, χείρες δε ανδρείων πλουτίζουσιν. Υιός πεπαιδευμένος σοφός έσται, τω δε άφρονι διακόνω χρήσεται. Διεσώθη από καύματος υιός νοήμων, ανεμόφθορος δε γίνεται εν αμητώ υιός παράνομος. Ευλογία Κυρίου επί κεφαλήν δικαίου, στόμα δε ασεβών καλύψει πένθος άωρον. Μνήμη δικαίων μετ ἐγκωμίων, όνομα δε ασεβούς σβέννυται.

Σοφός καρδία δέξεται εντολάς, ο δε άστεγος χείλεσι σκολιάζων υποσκελισθήσεται. Ος πορεύεται απλώς, πορεύεται πεποιθώς, ο δε διαστρέφων τας οδούς αυτού, γνωσθήσεται. Ο εννεύων οφθαλμοίς μετά δόλου, συνάγει ανδράσι λύπας, ο δε ελέγχων μετά παρρησίας, ειρηνοποιεί. Πηγή ζωής εν χειρί δικαίου, στόμα δε ασεβούς καλύψει απώλεια. Μίσος εγείρει νείκος, πάντας δε τους μη φιλονεικούντας καλύπτει φιλία.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (γ 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτῷ, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σειράχ το Ανάγνωσμα. (λε 17-24)

Προσευχή ταπεινού νεφέλας διήλθε, και έως συνεγγίση, ου μη παρακληθή· και ου μη αποστή, έως επισκέψηται ο Ύψιστος και κρίνει δικαίως και ποιήσει κρίσιν. Και ο Κύριος ου μη βραδύνη, ουδέ μη μακροθυμήση επ αὐτοῖς, έως αν συντρίψη οσφύν ανελεημόνων, και τοις έθνεσιν ανταποδώσει εκδίκησιν, έως εξάρη πλήθος υβριστών και σκήπτρα αδίκων συντρίψη έως ανταποδώ ανθρώπω κατά τας πράξεις αυτού και τα έργα των ανθρώπων κατά τα ενθυμήματα αυτών· έως κρίνη την κρίσιν του λαού αυτού, και ευφρανεί αυτούς εν τω ελέει αυτού. Ωραίον έλεος εν καιρώ θλίψεως αυτού, ως νεφέλαι υετού εν καιρώ αβροχίας.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ιδιόμελα. Ήχος α΄.

Ανέτειλεν ημίν σήμερον εν τω της Εκκλησίας νοητώ στερεώματι, ο εκ της Εώας αστήρ φαεινότατος, Σισώης ο τρισμακάριστος. Δεύτε ουν , φιλέορτοι, την ετήσιον αυτού μνήμην ωδαίς καταστέψωμεν, ως καθηγητού της ερήμου και πρεσβευτού ημών θερμοτάτου προς Κύριον.

Ήχος β΄.

Υπερανθρώπως αγωνισάμενος εν τοις του οσίου Αντωνίου όρεσιν, υπέρ τα εβδομήκοντα έτη, Σισώη φωσφόρε, την ταπείνωσιν πάσαν ως άνασσαν των αρετών υπεδείκνυς. Αναπέμπων ουν ευχάς αενάως τω Κυρίω και ενδιαίτημα επάξιον της Υπερθέου

Τριάδος γενόμενος, απήλθες προς ον ηγάπησας πρεσβεύων Αυτώ υπέρ των τιμώντων σε.

Ήχος γ΄.

Ουκ έχομεν ώδε μένουσαν πόλιν αναβοών μετά του ουρανοβάμονος Παύλου την μέλλουσαν, όσιε Σισώη, σφοδρώς επεζήτεις παιδιόθεν. Σκηνώσας ουν εν τη ερήμω ουκ έδωκας νυσταγμόν τοις βλεφάροις σου, ίνα μη σε θάνατος κυριεύση και της μερίδος εκπέσης των σωζομένων. Όθεν ηξιώθης των εν πόλω σκηνωμάτων απολαύσαι, όπου των εορταζόντων ήχος ο ακατάπαυστος, πρεσβεύων Χριστώ υπέρ των ψυχών ημών.

Ήχος δ΄.

Ευφράνθητι έρημος η διψώσα, έλεγε, προορών ο Ησαΐας τον πολισμόν της αβάτου και ανύδρου ερήμου, ης οικήτωρ και ο σήμερον εορταζόμενος Σισώης. Ούτος γαρ καταλιπών τον κόσμον εκ νεότητος, έπηξε καλύβην πρώτον μεν εν Νιτρία, ύστερον δε εν Θηβαΐδι, καταφωτίζων πάντας τη αυτού σοφή βιοτή και λόγοις. Ταις αυτού αγίαις πρεσβείαις, Χριστέ ο Θεός, αξίους ημάς των αυτού αρετών ανάδειξον, και δέξαι ημάς ευμενώς μετά των δικαίων εν τη φοβερά ημέρα της κρίσεως.

Δόξα. Ήχος πλ. α΄.

Ποία γλώσσα μερόπων, κοσμικών η αζύγων, αξίως ευφημήση το της ερήμου θεοειδές εκβλάστημα, Σισώην τον πανθαύμαστον; ούτος γαρ νεότητα παραβλέπουν, και κοσμικάς συγχύσεις αποκρούων,

προς τον δίαυλον της μοναδικής πολιτείας εχώρησεν. Διο θεοπρεπώς βιώσας, του Παρακλήτου γέγονεν οικητήριον δοξάζων Χριστόν, ον ούτος εκτενώς ικετεύει υπέρ πάντων ημών.

Και νυν. Ο αυτός.

Μακαρίζομεν σε, Θεοτόκε Παρθένε...

Εις τον Στίχον. Στιχηρά Προσόμοια. Ήχος πλ. α΄.
Χαίροις ασκητικών.

Χαίροις, θεοσεβείας κανών, ακτημοσύνης εν Χριστώ το θεμέλιον, προπύργιον εγκρατείας, της απαθείας λειμών, και χαμαικοιτίας το εκτύπωμα Αἰγύπτου εκβλάστημα, ερημίας ανάθρεμμα, Σισώη ίον, της Νιτρίας ηδύπνοον, και τερπνότατος Θηβαΐδος κυκλάμινον, σκέπε αεί και φύλαττε, τους σοι καταφεύγοντας, και ευφημούντας εν ύμνοις, τα σα στερρά κατορθώματα, αζύγων αλείπτα, και φιλόσοφε θανάτου πανολβιώτατε.

Στιχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Χαίροις, ο την πτωχείαν Χριστού, επιποθήσας ευσεβώς εκ νεότητος, και κόσμου λιπών ηδέα, εν τη ερήμω μακράν, ζήλον του Προδρόμου μιμησάμενος· Σισώη πανεύφημε, αρετών απερίτρεπτε, στύλε απάντων, των τιμώντων σε μέμνησο, ταις πρεσβείαις σου, προς τον εύσπλαγχνον Κύριον· εσοπτρον ταπεινώσεως, αγάπης υπόδειγμα, των μοναστών υφηγήτορ, από κινδύνων απάλλαξον, ημάς και

παντοίων, συμφορών δεινών και βλάβης του πολεμήτορος

Στ.: Καυχήσονται όσιοι εν δόξη και αγαλλιάσονται επί των κοιτών αυτών.

Δεύτε, η φιλοσίων πληθύς, η εν ταις μάνδραις και ταις κώμαις αθροίσθητε, συστήσαι λαμπροφορούντες, πνευματικήν εορτήν, πανδαισίαν θείαν και πανήγυριν,

Σισώη του μάκαρος, ασκητών θησαυρίσματος, ερωδιού τε, της αζύγων βιώσεως, του ευθύφρονος, εγκρατούς και οικτίρμονος· σκεύος του θείου Πνεύματος, χρυσούν και διάδημα, κεκοσμημένον σαπφείροις, των αρετών και αδάμασι, Χριστόν εκδυσώπει, παρασχείν τοις σε τιμώσι το μέγα έλεος.

Δόξα.Ήχος δ΄.

Μνήμην θανάτου διηνεκώς έχων, τρισόλβιε πάτερ Σισώη, εμακρύνθης εις έρημον λιπών παν γεώδες ως σκύβαλον· θυμίαμα ουν εύοσμον προσενεχθείς τω ποιήσαντι τους ουρανούς εν συνέσει, Αυτόν ικέτευε υπέρ των ψυχών ημών.

Και νυν. Ο αυτός.

Νεύσον παρακλήσεσι σων ικετών, Πανάμωμε...

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος α΄.

Της ερήμου πολίτης και εν σώματι Άγγελος, και θαυματουργός ανεδείχθης, θεοφόρε Πατήρ ημών Σισώη· νηστεία αγρυπνία προσευχή, ουράνια

χαρίσματα λαβών, θεραπεύεις τους νοσούντας, και τας ψυχάς των πίστει προστρεχόντων σοι. Δόξα τω δεδωκότι σοι ισχύν· δόξα τω σε στεφανώσαντι· δόξα τω ενεργούντι δια σου πάσιν ιάματα.

Έτερον. Ήχος πλ. α΄. Τον συνάναρχον Λόγον.

Γερασίμου.

Εκ παιδός γεωργήσας ζωήν την κρείττονα, των κατ αὐτῆς ενεπλήσθης θεουργικών αγαθών, των Αγγέλων μιμητά Σισώη Όσιε· όθεν ως ήλιος λαμπρός, απαυγάζεις τηλαυγώς, εν ώρα της σης εξόδου, δηλοποιών την σην δόξαν, και καταλάμπων τας ψυχάς ημών.

Έτερον. Ήχος πλ. α΄. Τον συνάναρχον Λόγον.

Χαραλάμπους.

Αμαρτίας ακάνθας κατεπυρπόλησας, τω πυρί εγκρατείας και χαμευνίας στερράς, και προς φως το νοητόν, μετήλθες όσιε. Όθεν Σισώη τοις χοροίς, των Αγγέλων συνοικείς, και χαίρων αεί πρεσβεύεις, τω Κυρίω υπέρ των πίστει, επιτελούντων την σην μνήμην λαμπρώς.

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α΄ Στιχολογίαν,

Κάθισμα. Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Αγώνας τους σεπτούς, ευλαβώς του οσίου, Σισώη αδελφοί, ανυμνήσωμεν πάντες, ους πίστει διεξήγαγεν, εν ερήμω ως άσαρκος, και βοήσωμεν· Μη

διαλίπης τω Κτίστη, βλάβης ρύσασθαι, πρεσβεύειν του πολεμίου, και πόνων σους πρόσφυγας.

Δόξα. Και νυν. Θεοτοκίον.

Αιτία της χαράς, των ανθρώπων Μαρία, Παντάνασσα Αγνή, αποδίωξον θλίψεις, πικράς τε νοσήματα, ζοφερά εκ των δούλων σου, ως μεσίτρια, και αρωγός ταχυτάτη, ίνα άπαντες, σε εις αιώνα αιώνος, λαμπρώς μεγαλύνωμεν.

Μετά την β΄ Στιχολογίαν,

Κάθισμα. Ήχος γ΄. Την ωραιότητα.

Το ανεπίφθονον της πολιτείας σου, και αδαμάντινον του χαρακτήρός σου, ο παλαμναίος καθορών, τα σπλάγχνα ετιτρώσκετο· Παύσον του τοξεύειν με, οίμοι, στενών εκραύγαζε, βέλεσιν ασκήσεως, αγρυπνίας και τήξεως· ου φέρω γαρ οράν σε Σισώη, ώσπερ ασώματον βιούντα.

Δόξα. Και νυν.Θεοτοκίον.

Την ωραιότητα της παρθενίας σου..

Μετά τον Πολυέλεον,

Κάθισμα. Ήχος γ΄. Επεφάνης σήμερον.

Της ερήμου γέγονας, σεπτός οικήτωρ, παιδιόθεν όσιε, Νιτρίας φρέαρ καθαρόν, και Θηβαΐδος γλυκύτατον, Σισώη ύδωρ, πηγάζων εκ πίστεως.

Δόξα. Και νυν. Θεοτοκίον.

Νεύσον παρακλήσεσι, των ικετών σου, Θεοτόκε παύουσα, ημών ορμήματα παθών, και προς λιμένα υπήνεμον, άχραντε Κόρη, σους δούλους κατεύθυνον.

Το α΄ Αντίφωνον του δ΄ ήχου.

Προκείμενον. Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού. Στιχ.: Τι ανταποδώσωμεν τω Κυρίω περί πάντων, ων ανταπέδωκεν ημίν;

Πάσα πνοή.

Ευαγγέλιον Οσιακόν.

Ο Ν Ψαλμός.

Δόξα: Ταις του σου Οσίου...

Και νυν: Ταις της Θεοτόκου...

Ελεήμον, ελέησον με, ο Θεός...

Ιδιόμελον. Ήχος β΄.

Αρνησάμενος τον κόσμον και τα τούτου τερπνά και ηδέα, όσιε Σισώη, ακλινής οδοιπόρος της στενής και τεθλιμμένης οδού εγένου, επ ὤμων αράμενος τον Σταυρόν του Κυρίου. Οικήσαςουν εν ερήμω, ένθα καλώς ετέλεσας τον αγώνά σου, επέτυχες απολαύσαι των ακηράτων αγαθών, τω Χριστώ νυν παριστάμενος· και πρεσβεύων Αυτώ υπέρ των ψυχών ημών.

Ο Κανών της Θεοτόκου.

Ο Κανών του Αγίου εκ του Μηνιαίου:

Ωδή α΄. Ήχος πλ. δ΄. Άσωμεν τω Κυρίω.

Πάθεσι νεκρωθέντα, ζώωσόν με Πάτερ ταις πρεσβείαις σου, τη ζωή νυν των ζώντων, παρρησία πολλή παριστάμενος.

Έρωτι Πάτερ θείω, έρωτας σαρκός αποκρουσάμενος, ηκολούθησας πόθω, τω καλούντι Σισώη μακάριε.

Αίγλην άυλον Πάτερ, ένδον εν καρδία εισδεξάμενος, εφωτίσθης και πάσαν, των παθών την αχλύν εξηφάνισας.

Θεοτοκίον.

Σώσόν με τον εν ζάλη, πασών ηδονών κλυδωνιζόμενον, τον Σωτήρα τεκούσα, του παντός την γαλήνην πανάμωμε.

Έτερος, φέρων τήνδε την ακροστιχίδα. ΣΙΣΩΗΝ ΑΙΝΕΙ ΚΑΙ ΙΚΕΤΕΥΕΙ ΧΑΡΑΛΑΜΠΗΣ

Ωδή α΄. Ήχος πλ. δ΄. Υγράν διοδεύσας.

Σισώη τρισμάκαρ παρεστηκώς, τη θεία Τριάδι, νυν εν πόλω δος μοι φωνήν, σου την φωτοφόρον άσαι μνήμην, δαβιτικώς ιεροίς μελωδήμασιν.

Ισχύσας πατάξαι τον πονηρόν, καμάτοις συντόνοις, αγρυπνίαις και προσευχαίς, ταμείον σοφίας ανεδείχθης, και αρετών ω Σισώη κεφάλαιον.

Σεβάσμιον κάτοπτρον μοναστών, κρηπίς φιλοσόφων, μονοτρόπων υπογραμμέ, μη παύση δεόμενος Κυρίω, υπέρ των σε ευφημούντων εκάστοτε.

Θεοτοκίον.

Ωράϊσμα πάντων των γηγενών, κατάσκιον όρος, αλατόμητον και δασύ, εκ σου ο Χριστός σαρκί ετέχθη, ο αινετός και φιλάνθρωπος Κύριος.

Ωδή γ΄. Συ ει το στερέωμα.

Σάρκα καθυπέταξας, τω λογισμώ στερρώς Όσιε, την δε ψυχήν, έδειξας δουλεία, των παθών αταπείνωτον.

Πόνοις σου την άρουραν, την της ψυχής σοφώς Όσιε, καλλιεργών, στάχυν απαθείας, και θαυμάτων εξήνθησας.

Νέκρωσιν ενδέδυσαι, ζωοποιόν Χριστόν ένδοξε, ιχνηλατών· όθεν ανιστάν σοι, και νεκρούς χάριν δίδωσιν.

Θεοτοκίον.

Τόπον αγιάσματος, και νοητήν Αγνή τράπεζαν, άρτον Χριστόν, την ζωήν των όλων, δεξαμένην υμνούμέν σε.

Έτερος. Ουρανίας αψίδος.

Ηγωνίσθης αόκνως, τον Λυτρωτήν Κύριον, εν αγαλλιάσει Σισώη, μάκαρ μιμούμενος, ίνα αεί μετ Αὐτοῦ, ευφραίνη εν ουρανίοις, δώμασι θεούμενος, συ κατά μέθεξιν.

Νικηφόρους αγώνας, κατά δεινού δράκοντος, ήγαγες Σισώη τρισμάκαρ, του πολεμούντός σε· διο σε παρακαλώ, μη με εάσης δειχθήναι, εν τη κρίσει όσιε, πλάνου επιχάρμα.

Αρωγός τε ακέστωρ, σων ικετών ένθερμος, και ταχύς αυτών παραστάτης, πέλεις τρισόλβιε· ακτημοσύνης κανών, και διακρίσεως κέρας, πάντας εκ κολάσεως, ρύσαι σους πρόσφυγας.

Θεοτοκίον.

Ιλασμόν μοι πταισμάτων, Μήτερ αγνή δώρησαι, τω σε μεγαλύνοντι πόθω, ως εκβλαστήσασαν, τον Ζωοδότην Χριστόν, Θεόν ημών και Δεσπότην, Λυτρωτήν Πανάγαθον, και Υπερένδοξον.

Κάθισμα. Ήχος α΄. Τον τάφον σου Σωτήρ*.

Σαρκός τας ηδονάς, εγκρατείας τω τόνω, ενέκρωσας σοφέ, αρετών εμμελεία· διο ταις αναβάσεσιν, επαυξούμενος άριστα, Πάτερ έφθασας, προς την ουράνιον τρίβον,και παρίστασαι, αεί Χριστώ συν Αγγέλοις, Σισώη Πατήρ ημών.

Έτερον. Ήχος δ΄. Ο υψωθείς εν τω Σταυρώ.

Ως τετρωμένος του Χριστού τη αγάπη, εν τη ερήμω ενασκήσεως τρίβους, περιχαρώς διέδραμες Σισώη κλεινέ· όθεν και διέλαμψας, ως αστήρ φωτοφόρος, δαδούχων διδάγμασι, και σοφία σου πάντας, τους φοιτητάς σου σκεύος εκλεκτόν, της κατοικούσης, εν σοι θείας χάριτος.

Θεοτοκίον.

Την Αειπάρθενον και άχραντον Κόρην, την σωματώσασαν Χριστόν τον Σωτήρα, ελέους κρήνην άφθονον την πάσι πιστοίς, ύδωρ αναβλύζουσαν, της ζωής της αλήκτου, και καταδροσίζουσαν, τους

προστρέχοντας ταύτη, εν κατανύξει μέλψωμεν ψυχής, και καθ ἑκάστην, σαφώς μεγαλύνωμεν.

Ωδή δ΄. Εισακήκοα Κύριε.

Επομβρία της χάριτος, Πάτερ ποταμούς θαυμάτων ανέβλυσας, μολυσμών αποκαθαίροντας, τους εν πίστει μάκαρ σοι προστρέχοντας.

Ολονύκτοις δεήσεσι, και ταις πανημέροις Όσιε στάσεσι, την ψυχήν προκαθηράμενος, της Τριάδος οίκον ταύτην έδειξας.

Εν ερήμοις εμάκρυνας, Πάτερ φυγαδεύων και προσδεχόμενος, σε τον σώζοντα μακάριε, ολιγοψυχίας και κακώσεως.

Θεοτοκίον.

Αλατόμητον όρος σε, πάλαι Αββακούμ προείδε Πανάμωμε, ο Θεός εξ ου επέφανε, και ημάς φθαρέντας ανεκαίνισεν.

Έτερος. Όμοιον.

Νοερώς προσευχόμενος, και Χριστόν απαύστως επικαλούμενος, παν γεώδες εγκατέλιπες, ασκητών Σισώη υποτύπωσις.

Ενδυθείς επιείκειαν, άδολον αγάπην τε και διάκρισιν, ώφθης κόσμος τιμαλφέστατος, της ερήμου ω Σισώη πάνσεπτε.

Ικετήριον έντευξιν, σοι προσάγω πάτερ Σισώη κράζων σοι· Ο πατάξας όφιν βύθιον, ρύσαί με της τούτου δολιότητος.

Θεοτοκίον.

Κλυδωνούμενον δούλόν σου, σάλω αμαρτίας Αγνή διάσωσον, ίνα μέλπω σε εν άσμασιν, ευσεβών στερρόν αγκυροβόλιον.

Ωδή ε΄. Ορθρίζοντες βοώμέν σοι.

Ναός της τρισηλίου Θεότητος, χρηματίσας, παθών τα ινδάλματα, της σης ψυχής εξεμείωσας.

Νεκρώσας της σαρκός σου το φρόνημα, θεοφόρε, νεκρούς εξανέστησας, τη συνεργία της χάριτος.

Θεοτοκίον.

Τον ήλιον τεκούσα της χάριτος, Θεοτόκε, Παρθένε τον άδυτον, εσκοτισμένον με φώτισον.

Έτερος. Φώτισον ημάς.

Άνωθεν ημάς, επιβλέπειν Πάτερ όσιε, μη ελλείπης πατρικώς ο εκζητών, εν τη γη το θεϊκόν άνω πολίτευμα.

Ίθυνας την σην, Ασκητά ροπήν και έφεσιν, προς την κρήνην των απείρων αγαθών, προς ην ίθυνον και πάντας τους τιμώντάς σε.

Ίον νοητόν, της ερήμου κατεμύρισας, αρεταίς σου και αγώσί σου λαμπροίς, μονοτρόπων ω Σισώη την ομήγυριν.

Θεοτοκίον.

Καύχημα πιστών, Θεοτόκε Αειπάρθενε, ον εγέννησας Χριστόν διηνεκώς, καθικέτευε σωθήναι τους υμνούντάς σε.

Ωδή στ΄. Ιλάσθητί μοι Σωτήρ.

Του κήτους του νοητού, πανωλεθρίαν διέφυγες, εγκράτειαν προσευχήν, αγάπην ανόθευτον, κραταιάν ταπείνωσιν, και στοργήν βεβαίαν, προς Χριστόν Πάτερ κτησάμενος.

Χριστός σου τα προς αυτόν, κατηύθυνε διαβήματα, ο δυνατός δυνατόν, σαφώς απειργάσατο, πατούντα επ ὄφεων, και σκορπίων κάρας, θεοφόρε παμμακάριστε.

Τη νεύσει τη προς Θεόν, θεός σαφώς εχρημάτισας· τη προς το φως ολική, στοργή φως γεγένησαι· άγγελος επίγειος, θεοφόρε Πάτερ, επουράνιός τε άνθρωπος.

Θεοτοκίον.

Μαρία το καθαρόν, της παρθενίας κειμήλιον, καθάρισόν μου τον νουν, παθών αμαυρώσεως, και πλήρωσον χάριτος, και δικαιοσύνης, την καρδίαν μου Πανάμωμε.

Έτερος. Την δέησιν.

Εμάρανας της σαρκός τα άνομα, πάθη τε και χαμαιζήλους ορέξεις, εγκαρτερήσει στερρά χαμευνία, και ασιτεία, Σισώη πανεύφημε· διο νυν χαίρη συν Χριστώ, της αυτού απολαύων λαμπρότητος.

Τον Κύριον εσαεί ικέτευε, ον ηγάπησας εκ βρέφους Σισώη, των δυσχερών ημίν λύτρωσιν δούναι, τοις ευφημούσι τους θείους καμάτους σου, της γλώσσης σου την φυλακήν, σην αγάπην και άκραν ταπείνωσιν.

Εξήστραψεν το σον θείον πρόσωπον, ουρανίοις ω Σισώη ακτίσι, κατά την σην τελευτήν καταυγάζον,

τους παρεστώτας και πίστει κραυγάζοντας· Ο θάνατος του ασκητού, εναντίον του Κτίσαντος τίμιος.

Θεοτοκίον.

Υνέτισας ύδωρ το ζωήρρυτον, Ιησούν τω κόσμω Πάναγνε Μήτερ, τον της χρηστότητος ρείθροις κρηπίδας, ανομιών και πταισμάτων ξηράναντα· διο σου δέομαι καμοί, συμπαθείας σου δρόσον επόμβρισον.

Κοντάκιον. Ήχος πλ. δ΄. Τη υπερμάχω.

Τον ασκητήν της ερημίας τον περίδοξον, Αιγύπτου γόνον Αντωνίου τον συνόμιλον, και ωράϊσμα απάντων των μονοτρόπων, ταπεινώσεως το σκεύος το πολύτιμον, τον Σισώην εν ωδαίς ανευφημήσωμεν, ανακράζοντες· Χαίροις, Πάτερ τρισόλβιε.

Ο Οίκος.

Άγγελοι την σεπτήν σου, πολιτείαν ιδόντες, Σισώη εξεπλάγησαν όντως· ως ασώματος γαρ εν τη γη, βιοτεύσας παν χαμαιτυπές φρόνημα, ευχόμενος εδίωξας· διο σοι εκβοώμεν ταύτα·

Χαίρε, δι οὗ ο Χριστός υμνήθη·
χαίρε, δι οὗ ο σατάν ετρώθη.
Χαίρε, Αντωνίου του θείου ομότροπος·
χαίρε, των ερήμου Οσίων ομόσκηνος.
Χαίρε, ύψος δυσθεώρητον αρετών πνευματικών·
χαίρε, κήπος ευωδέστατος θεοσδότων δωρεών.
Χαίρε, άνθος Αιγύπτου αποπνέον σοφίαν·

χαίρε, στύλος τιμίας εν Χριστώ πολιτείας.
Χαίρε, κανών στερράς ενασκήσεως·
χαίρε, λειμών ενθέου φρονήσεως.
Χαίρε, γλυκύ και γαλήνιον όμμα·
χαίρε, λαμπρόν ταπεινώσεως στέμμα.
Χαίροις, Πάτερ τρισόλβιε.

Συναξάριον.
Τη ΣΤ τοῦ αυτού μηνός, Μνήμη του Οσίου Πατρός ημών Σισώη του Μεγάλου.
Στίχοι.
Καλύβην πήξας, Σισώη, εν ερήμω,
Πνεύματος ώφθης οικητήριον θείον.
Θεού τεθνηκώς πυξίω προσεγράφη,*
Θείου Σισώης Πνεύματος το πυξίον.*
Βη δε Σισώης γήθεν ες ουρανόν έκτη αμύμων.*

Ωδή ζ΄. Παίδες Εβραίων.
Όλην του Πνεύματος την αίγλην, υποδέδεξαι νοΐ κεκαθαρμένω, και φωστήρ των πιστών, βοώντων χρηματίζεις· Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας.
Θείω πυρί της εγκρατείας, επυρπόλησας ακάνθας αμαρτίας, και προς φως νοητόν, μετήλθες ανακράζων· Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας.

Θεοτοκίον.

Σώσόν με Μήτερ του Σωτήρος, συνεχόμενον βυθώ αμαρτημάτων, και παντοίας εχθρού, εξάρπασον κακίας, ίνα την σην σωζόμενος, μεγαλύνω προστασίαν.

Έτερος. Οι εκ της Ιουδαίας

Εαυτόν κατακλείσας, ενδοτέρα ερήμω, εν ταύτη Όσιε, διήνυσας τον βίον, τρεφόμενος βοτάνοις, και ασκήσει τηκόμενος· Ο των Πατέρων βοών, Θεός ευλογητός ει.

Ιησούν αγαπήσας, παιδιόθεν Σισώη, Αυτώ προσήγαγες, ιδρώτων σου ρανίδας, και πόνων μέγα πλήθος, ως θυσίαν ευπρόσδεκτον, αναβοών· Ο Θεός, ημών ευλογητός ει.

Χάριν εύρες θεόθεν, εκ νεκρών αναστήναι, τον κομισθέντα σοι, Σισώη νεανίσκον, ου ο πατήρ θαυμάσας, την πολλήν παρρησίαν σου, ανέκραζεν· Ο Θεός, ημών ευλογητός ει.

Θεοτοκίον.

Αειπάρθενε Κόρη, νοσημάτων παντοίων, ημάς απάλλαξον, τους πίστει τη ση σκέπη, τη θεία προσδραμόντας, και βοώντας εν άσμασιν· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ωδή η΄. Επταπλασίως κάμινον.

Διηνεκέσι χρώμενος, προσευχαίς και δεήσεσι, λύμην εκ ψυχής την των παθών απήλασας, και της διανοίας σου, το οπτικόν εκάθηρας· όθεν προοράν,

προφητικώς ηξιώθης, τα μέλλοντα Σισώη, ευσεβώς αναμέλπων· Λαός υπερυψούτε, Χριστόν εις τους αιώνας.

Αγγελικώς εβίωσας, μετά σώματος Όσιε, και τας εναντίας ετροπώσω φάλαγγας, εντεύθεν εις άυλον, μετ ̓ εὐφροσύνης Πάτερ ζωήν, όπου των Αγγέλων κατεσκήνωσας τάξεις· μεθ ̓ ὧν νυν ανακράζεις· Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τους αιώνας.

Υλομανούσαν πάθεσι, την ψυχήν μου καθάρισον, σου ταις προς το Θείον ιεραίς εντεύξεσι, και της συνεχούσης με, αιχμαλωσίας λύτρωσαι, Πάτερ θεοφόρε, καθαρώς ίνα ψάλλω· Οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τους αιώνας.

Θεοτοκίον.

Αγιασθείσα Πνεύματι, υπεδέξω εν μήτρα σου, τον Δημιουργόν της ανθρωπίνης φύσεως, και τούτον εκύησας, ανερμηνεύτως Κόρη αγνή· ον ακαταπαύστως, ανυμνούντες βοώμεν· Οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Έτερος. Τον Βασιλέα.

Ρώμη Σισώη, ψυχής συντόνω ασκήσει, και νηστεία ενεδύθης· όθεν πλάνην, βίου απεκδύθης, και παίσματα παντοία.

Άνωθεν σκέπε, τους ευφημούντάς σε ύμνοις, και την μνήμην σου τιμώντας την αγίαν, όσιε Σισώη, αζύγων υφηγήτορ.
Χειμών ευώδης, ασκητικής πολιτείας, αρετής τε και σοφίας ώφθης πάντας, τους πιστούς ευφραίνων, τρισόλβιε Σισώη.

Θεοτοκίον.

Αγγέλων δόξα, και μοναστών μέγα κλέος, υπερύμνητε Παρθένε σωτηρίας, δείξόν μοι τας τρίβους, τω σε υπερυψούντι.

Ωδή θ΄. Έφριξε πάσα ακοή.

Δέδεικται θαύμα φοβερόν, κατ  αὐτόν σου τον καιρόν της κοιμήσεως, υπέρ τον ήλιον, του σου προσώπου Πάτερ αστράψαντος, ότε παρέστησαν χοροί, Αγίων το πνεύμά σου, παραληψόμενοι, και Θεώ τω ποιητή προσκομίσοντες.
Ταις θείαις μάκαρ καλλοναίς, ενηδόμενος και θέσει θεούμενος, και λαμπρυνόμενος, ταις φανοτάταις εκείθεν λάμψεσι, την φωτοφόρον σου πιστώς, μνήμην τους γεραίροντας, ταις ικεσίαις σου, αχλυώδους των παθών λύμης λύτρωσαι.
Δίκαιος άμεμπτος παντός, απεχόμενος κακού Πάτερ γέγονας, όσιος άκακος, Θεώ λατρεύσας εν οσιότητι· επανεπαύσατο διο, Τριας τη καρδία σου, ης νυν τρανότερον, απολαύεις τηλαυγώς αξιάγαστε.

Θεοτοκίον.

Εξ έργων όλως εν εμοί, σωτηρία ουχ υπάρχει Πανάμωμε· την εναντίαν γαρ, οδεύων τρίβον σκότους πεπλήρωμαι· αλλ’ η το φως το εκ φωτός, ημίν ανατείλασα, φώτισον σώσόν με, μη παρίδης με δεινώς απολλύμενον.

Έτερος. Κυρίως Θεοτόκον.

Μη παύση περισκέπων, και φρουρών Σισώη, τους σε καρδία και χείλεσιν άδοντας, ευλογημένε δοχείον, του θείου Πνεύματος.

Πρεσβείαις σου Σισώη, ίλεων τον Κτίστην, ημίν εν ώρα της κρίσεως ποίησον, τοις ανυμνούσι του βίου, σου τα παλαίσματα.

Ηυτρέπισας παννύχοις, στάσεσι και νήψει, το της ψυχής σου Σισώη ιμάτιον, πολιτευθείς εν ερήμω, ωσεί ασώματος.

Θεοτοκίον.

Σωτήρα των απάντων, Άχραντε τεκούσα, τον Ιησούν ανηρότως ικέτευε, Αυτόν του ρύσαι εκ βλάβης, τους ανυμνούντάς σε.

Εξαποστειλάριον. Ο ουρανόν τοις άστροις.

Της υπέρ έννοιαν αίγλης, της κρείττονος και θεϊκής, μέτοχος ων ω Σισώη, Χριστόν ικέτευε αεί, τηρείν απήμονας πάντας, από φθοράς και κινδύνων.

Θεοτοκίον.

Χαίρε θεόδροσε Πόκε, Νεφέλη κούφη και Λαβίς, χρυσούν Λογείον και Βάτε, Τράπεζα Λύχνε Κιβωτέ, Αγνή Θεόνυμφε Κόρη, καταφυγή των σων δούλων.

Εις τους Αινούς. Ιστώμεν Στίχους δ΄ και ψάλλομεν τα εξής Προσόμοια. Ήχος πλ. δ΄. Ω του παραδόξου θαύματος!

Ω του παραδόξου θαύματος! πως εν ερήμω μακράν, γυμνητεύων στερούμενος, αγρύπνων τηκόμενος, και διψών κατεσκήνωσας, πάτερ Σισώη, ώσπερ ασώματος, ενδεδυμένος χιτώνα πίστεως, άγρια λάχανα, κατεσθίων ρίζας τε, αυτοφυείς, και δοξάζων Κύριον, τον πολυεύσπλαγχνον.

Ω του παραδόξου θαύματος! πάτερ Σισώη σοφέ, τη ενθέω ασκήσει σου, ζηλωτής και πρόμαχος, της Χριστού ώφθης πίστεως· συ γαρ εκχέων, δακρύων χεύματα, οιαπέρ ρείθρα ψυχήν επίανας, και προς απρόσιτον, αρετών αιρόμενος, ύψος χρυσούν, ανεδείχθης άγαλμα, της ταπεινώσεως.

Ω του παραδόξου θαύματος! ώσπερ αστήρ ορθρινός, εκ Νιτρίας ανέτειλεν, και ερήμου πέρατα, εν ασκήσει εφώτισε, των μονοτρόπων το ακροθίνιον, και Θηβαΐδος το καλλιέρημα, ο ενθεώτατος, ο Σισώης χάριτος, θείων βολών, εμπλησθείς και όργανον, Θεού γενόμενος.

Ω του παραδόξου θαύματος! πάτερ Σισώη εστώς, προ του τάφου του άνακτος, Αλεξάνδρου έλεγες, τα οστέα

ορώμενος· Που σου η δόξα, νεότης, δύναμις, πλούτος,ανδρεία, τιμή, βασίλεια; Πάντα παρέρχονται, ώσπερ όναρ τάχιστα, εωθινόν, και προσμένει άπαντας, φρικτός ο θάνατος.

Δόξα. Ήχος δ΄.

Της μυστικής ζωής την θεοτύπωτον στήλην, το έμπνουν παράδειγμα της εγκρατείας και τίμιον μονοτρόπων γέρας, Σισώην τον ενδοξον, ευλαβώς ευφημήσωμεν· ούτος γαρ καλώς την μοναδικήν τρίβον ανύσας εν ερήμω και προς ουράνιον ύψος ως στρουθίον πετασθείς, εκτενώς πρεσβεύει τω Κυρίω υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων τους δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, την ελπίδα των ψυχών ημών.

Δοξολογία Μεγάλη και Απόλυσις.

**ΕΝ ΤΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ**

Τα Τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος του Οσίου η γ και η στ' Ωδή.

Απόστολος. Προς Γαλάτας. (Ζήτει τω Σαββάτω της ΚΖ Εβδομάδος).

Ευαγγέλιον. Κατά Λουκάν. (Ζήτει τη Ε Δεκεμβρίου).

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον...

Μεγαλυνάριον.

Μνήμην του θανάτου διηνεκώς, μελετών Σισώη, κατεμάρανας τας ορμάς, και προς αναβάσεις, αιρόμενος μεγίστας, του ουρανίου κάλλους, χαίρων απήλαυσας.

Έτερον.

Δειλιών και τρέμων ο Ασκητής, τάφω Αλεξάνδρου, Βασιλέως ποτέ τρανού, του καιρού το ρέον, και πρόσκαιρον της δόξης, εξίσταται Σισώης, θαυμάζων και θρηνών.

